LEL

ΜΙΧΑΗΛ ΛΕΛΕΚΟΥ

ΚΛΕΩΝΑΙΟΥ

# ΑΠΟΣΠΑΣΜΑΤΑ

ΕΚ ΤΩΝ

## ΛΑΪΚΩΝ ΕΘΙΜΩΝ, ΜΥΘΩΝ

ΚΑΙ ΛΟΙΠΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΩΝ ΠΙΕΣΤΗΡΙΩΝ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ ΑΡΙΘ. 3

1891

2713

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΜΙΧΑΗΛ ΛΕΛΕΚΟΥ

ΚΛΕΩΝΑΙΟΥ

# ΑΠΟΣΠΑΣΜΑΤΑ

ΕΚ ΤΩΝ

## ΛΑΪΚΩΝ ΕΘΙΜΩΝ, ΜΥΘΩΝ

ΚΑΙ ΛΟΙΠΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΞΕΝΟΦΩΝ Α. ΣΙΔΕΡΙΔΗΣ
ΕΝ ΚΩΝ/ΠΟΛΕΙ

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΩΝ ΠΙΕΣΤΗΡΙΩΝ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΠΑΓΕΩΡΓΙΟΥ

ΟΔΟΣ ΟΦΘΑΛΜΙΑΤΡΕΙΟΥ ΑΡΙΘ. 5

1891

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΒΙΒΛΙΟΘΗΚΗ ΣΙΔΕΡΙΔΟΥ
ΑΡ 2308

# ΕΘΙΜΑ

---

## ΤΑ ΧΡΙΣΤΟΓΕΝΝΑ

Σεμνοτάτη πανήγυρις ἡ παραμονὴ τῶν Χριστογέννων. Ἐντεῦθεν οἱ γέροντες οἱ μὲν ἀγοράζουσιν ἀμνούς, οἱ δὲ ὄρνιθας, οἱ δ' ἀλέκτορας, οἱ δ' οὐ ἔχοντες, ἐκεῖθεν οἱ νεανίσκοι τρέχοντες ἀπὸ οἰκίας εἰς οἰκίαν λέγουσι τὰ Χριστόγεννα χαριέντως[1], ἑτέρωθι αἱ νεάνιδες αἱ μὲν στολίζουσι τὸν οἶκον, αἱ δὲ σαίρουσι τὴν αὐλήν, αἱ δὲ ζυμοῦσι καὶ ποιοῦνται ψωμία περίφημα διαφόρων εἰδῶν, ὧν τὸ μεῖζον καὶ τὸ κρεῖττον καλοῦσι **χριστόψωμα**, τὰ δὲ ἄλλα **καρβελάκια**. Ἐκ τούτων τὰ μὲν τρώγουσι, τὰ δὲ πέμπουσι τοῖς ἀναδεξιμαίοις αὐτῶν, ὧν οἱ γονεῖς ἀμείβονται τὸ κομίσαν παιδίον ἢ τὴν παιδίσκην γλυκύσμασιν ἢ ἀμυγδάλοις.

## ΤΟ ΝΕΟΝ ΕΤΟΣ

Ὅ τι γίνεται τὴν παραμονὴν τῶν Χριστογέννων, αὐτὸ τοῦτο γίνεται καὶ τὴν τοῦ νέου ἔτους.

Πάλιν οἱ προβεβηκότες ἄλλοι ὠνοῦνται ἀμπέχονα, ἄλλοι ἀθυρμάτια, ἄλλοι ὄρνιθας, ἄλλ' ἰνδικοὺς ἀλέκτορας, ἄλλοι χῆνας, ἄλλοι γλυκύσματα, ἄλλοι δ' οὐ ἔχοντες.

Πάλιν καὶ τὰ μειράκια περιφερόμεν' ἀπ' αὐλῆς εἰς αὐλὴν λέγουσι τὸν **ἅγιον Βασίλειον** αὐλῷ τε καὶ τυμπάνοις[2].

1 Ἴδε τὰ Χριστόγεννα ἐν τῇ *Δημοτικῇ μου Ἀνθολογίᾳ* τοῦ 1868 σελ. 7 καὶ ἐν τῷ ***Ἐπιδορπίῳ** μου* τοῦ 1888 σελ. 9.

2 Ἴδε τὸν ἅγιον Βασίλειον ἐν τῇ Δημοτ. Ἀνθολογίᾳ σελ. 9 καὶ ἐν τῷ Ἐπιδορπίῳ σελ. 10.

Πάλιν καὶ αἱ δεσποινίδες ἄλλ' εὐτρεπίζουσι τὰ τῆς ἑστίας, ἄλλ' ἑτοιμάζουσι τὰς ἀθίκτους ἐσθῆτας, ἄλλαι ζυμοῦσι καὶ πλάττουσι πολλά τε καὶ ποικίλα ὄψα τε καὶ ψωμία, ἐν οἷς καὶ πλακοῦντα πάγκαλον, ὃν καλοῦσι **βασιλόπητα** καὶ **βασιλοπήτα.**

Ἐν τούτῳ τίθενται καὶ νόμισμά τι, ποιοῦσι δὲ καί τινα κοσμήματα ἐπ' αὐτοῦ ἐξ αὐτοῦ τοῦ φυράματος εἰκονίζοντα βοῦς, ἄροτρον, πρόβατα καὶ τὰ τοιαῦτα.

Τὴν ἐπιοῦσαν, ὅτε τίθεται ἡ τράπεζα καὶ πάντα τὰ ἀναγκαῖα καὶ ὁ πλακοῦς ὁ πολὺς ἅμα, κάθηνται κύκλῳ καὶ κυλίουσι πέρα τρὶς αὐτόν, ὅστις, ἂν πέσῃ καὶ τὰς τρεῖς ὕπτιος, οὐκ ἔστι καλόν, ἂν πρηνής, εὐοίωνον, μεθ' ὃ ποιούμενοι τὸ σημεῖον τοῦ σταυροῦ τρὶς ὑπὲρ τοῦτον ἀκροθιγῶς μαχαίρᾳ κόπτουσι καὶ ἄρχονται τρώγειν μετὰ προσοχῆς ὅπως εὕρωσι τὸ κέρμα, ὅπερ ὅστις εὕροι ὑπερχαίρει τυχηρὸς ὢν δῆθεν. Μετὰ ταῦτα τρώγουσι καὶ ὀλίγα γλυκύσματα ἵνα ἐν γλυκύτητι διανύσωσι τὸ νέον ἔτος.

Κατ' αὐτὴν ἀπηγορευμένον πᾶν ἔπος ἄτοπον.

Ἡ ὀργὴ καὶ τὸ ῥάπισμα, διότι ἀρχόμενον οὐ παύσεται ἐξακολουθοῦν ὅλον τὸ ἔτος.

Τὸ ὄνομα τῶν μυῶν, οὐ λεγομένου, πληθύνονται.

Ἀσπαστὸν δὲ τὸ γεύεσθαι κατ' αὐτὴν καὶ ἀγρίου θηράματος, οὗ τινος ἕνεκεν ἔσται ὑγιὴς ὅλον τὸ ἔτος ὁ γευσόμενος.

## ΤΑ ΘΕΟΦΑΝΕΙΑ

Ὃ γίγνεται τὴν παραμονὴν τοῦ νέου ἔτους, αὐτὸ τοῦτο γίγνεται περίπου καὶ τὴν τῶν Θεοφανείων, ἐφ' ᾧ σημειούμεθα μόνον τοῦτο διὰ τὰ Φῶτα.

Πάλιν οἱ μειρακίσκοι περιφερόμενοι ἀπὸ θύρας εἰς θύραν ᾄδουσι τὰ Φῶτα γλυκυτάτῃ μολπῇ [1]. Πλὴν τούτων ὅμως ἔχει αὕτη καὶ τὸ ἑξῆς.

Ἀπὸ πρωίας οἱ ἐφημέριοι περιερχόμενοι τὰς οἰκίας ὅλας εὐλο-

[1] Ἴδε τὰ Φῶτα ἐν τῇ Δημοτ. Ἀνθολογίᾳ σελ. 10 καὶ ἐν τῷ Ἐπιδορπίῳ σελ. 12.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γοῦσι καὶ ἁγιάζουσιν αὐτάς, οἱ δὲ ἐν αὐταῖς ἀσπαζόμενοι τὸν σταυρὸν καὶ τὴν χεῖρα τούτων ῥίπτουσι κερμάτιον εἰς τὸν ἀμφορίσκον ὅν περ φέρει ὁ ἑπόμενος ἑκάστῳ.

Τὴν ἐπιοῦσαν μετὰ τὴν θείαν λειτουργίαν τελεῖται ὁ μέγας ἁγιασμός, ἐξ οὗ λαμβάνοντες ὅλοι βαίνουσ' οἴκαδε καὶ ἁγιάζουσι τὰ αὐτόθι, ἐκδιωκομένου οὕτω παντὸς ὄντος ἀκαθάρτου καὶ εἰσερχομένου τοῦ Χριστοῦ.

Οὐχὶ ὀλίγον φαίνεται σύμφωνον πρὸς ταῦτα τὸ ἀκόλουθον.

Πιστεύουσι θνητοί τινες ὅτι ὑπάρχει μία τάξις ὄντων ἀφανῶν ὑπὸ τὸ ὄνομα **καλικάντζαροι** καὶ **καλικαντζαραῖοι** καὶ ὅτι ἡ τάξις αὕτη καταγίνεται κατ' ἔτος εἰς ἐκκοπὴν δένδρου πελωρίου, ὅπερ πρὶν εἰσέτι κόψῃ ὅμως ἐντελῶς ἐγκαταλείπει καὶ φεύγει καὶ ἀπέρχεται περὶ τὰ Χριστόγεννα πρὸς ὅλα τὰ κατῳκημένα μέρη καὶ μένει μέχρι τῶν Θεοφανείων.

Κατὰ τὸ διάστημα τοῦτο τρέχουσα ἀπὸ οἰκίας εἰς οἰκίαν κατουρεῖ τὰς κρόκας τῶν γυναικῶν καὶ πολλὰ ἄλλα τοιαῦτα πράττει, οὐκ ὀλίγα δὲ βαττολογεῖ, ἐν οἷς καὶ τόδε:

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Νύχτα μὴν καθίσετε,
Κουκιὰ μὴ ῥοχανίσετε·
Παλιουρᾶδες εἴμαστε,
Πάλιουρα βαστένομε,
Στὸν κόρφο σας τὰ βένομε.
Βάρ τὴ νειὰ μὲ τὴν καλάμα,
Τὴ γρηὰ μὲ τὴν κοπάνα.

Τὴν παραμονὴν τῶν Θεοφανείων ὅμως, ὅτε οἱ ἐφημέριοι περιφέρονται καὶ ἁγιάζουσι τὸν κόσμον, τρέπεται εἰς φυγὴν φθεγγομένη:

Φύγετε νὰ φύγωμε,
Τ' ἔρχετ' ὁ τουρλόπαπας
Μὲ τὴν ἁγιαστούρα του
Καὶ μὲ τὴ μαγκούρα του·

τρέπεται καὶ ἐπανέρχεται εἰς τὸ δένδρον, ὃ κατὰ τὴν ἀπουσίαν αὐτῆς ἀναπτύσσεται καὶ γίνετ' αὖθις ὡς ἦν καὶ πρότερον καὶ ὅπερ ἄρχεται κόπτουσ' αὖ πάλιν.

Ἐκ τούτων οὖν συνάγεται ὅτι τοιοῦτόν τι σχεδὸν συνέβαινε καὶ κατὰ τὰ Θαργήλια, ἑορτὴν ἰωνικήν, καθ' ἣν ᾄδοντες ᾠδήν τινα τοῦ Μιμνέρμου καὶ πλήττοντες κλάδοις συκῆς ἐξεδίωκον τοὺς φαρμακοὺς εἰς ἐξαγνισμὸν τοῦ τόπου.

Οἱ φαρμακοὶ λοιπὸν ἐξεδιώκοντο κλάδοις, οἱ καλικάντζαροι ῥαντίστροις. Ἀλλ' οἱ δυστυχεῖς οὗτοι οὐ μόνον διώκονται, ἀλλὰ καὶ εἰσὶ καταδεδικασμένοι εἰς τὸ βάσανον τοῦ Σισύφου.

Σημειωτέον δὲ ὅτι οὗτοι ἔχουσι τὸν ἕτερον τῶν ποδῶν ὄνειον καὶ ὅτι φοβοῦνται σφόδρα τὴν ἀλέκτορος ᾠδήν, τὸ μέλαν καὶ τὴν ὕσγην, οὗ ἕνεκα τιθέασιν αὐτὴν αἱ γυναῖκες εἰς τὸν φεγγίτην ἐφ' ὅσον τυγχάνουσιν ὄντες αὐτόθι, ἣν ὡς βλέπουσι φεύγουσι πεφοβημένοι καὶ οὐκ εἰσέρχονται οὐρῆσαι τὰς κρόκας.

## Η ΑΠΟΚΡΕΩΣ

### Η ΚΑΤΑ ΤΟΝ ΛΑΟΝ ΚΡΕΑΤΙΝΗ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πρὸ τῆς ἀπόκρεω θυσιάζοντες οὓς ἔτος ἔτρεφον χοίρους ἀποψιλοῦσι τούτους ὕδατι ζέοντι καὶ μαχαίραις, ἀναρτῶσι δ' ἐν πασσάλῳ ἢ δοκῷ καὶ ἄρχονται τρώγοντες ἐρρωμένως ἐφ' ὅσον διαρκοῦσιν αἱ ἀπόκρεῳ.

Συνειθίζουσι μάλιστα καί τινας ἑσπέρας οἰκεῖοί τε καὶ φίλοι συνέρχεσθαι καὶ συντρώγειν, πίνειν τε καὶ κραιπαλᾶν, ὀρχεῖσθαι καὶ ᾄδειν μέχρι ὄρθρου βαθέος, ὅτε τρέπονται πλέον εἰς φυγὴν τραυλίζοντες οὗτοι, ὀκλάζοντες ἐκεῖνοι, γελῶντες οἱ ἄλλοι.

Σημειωτέον δὲ ὅτι καθ' ἣν στιγμὴν θυσιάζουσι τὰ ζῷα ταῦτα προσέχουσι μὴ τυχὸν ἀκουσθῇ τοῦτο, διότι εἰσί τινες, οἵτινες ἅμ' ἀκούσαντες ἔχουσί τι ἐν αὐτοῖς, ὃ καθίστησι θᾶττον ἢ ὀψὲ ὄζον τε καὶ ὀδωδὸς ἅπαν τὸ θῦμα.

Οὐχ ἧττον σημειώσεως ἄξιον τυγχάνει καὶ τοῦτο.

Εἰώθασι συνάπτειν τὸ κέντρον τῶν χοίρων πρὸς τὸ κλεῖθρον τῆς θύρας, οὗ συναπτομένου συνάπτονται σύναμα καὶ αἱ γαμφηλαὶ τῶν γαλῶν καὶ οὐ δύνανται φαγεῖν ἃ ἔχουσιν ἔκθετα κρέα.

## Η ΤΥΡΟΦΑΓΟΣ

### Η ΚΑΤΑ ΤΟΝ ΛΑΟΝ ΤΥΡΙΝΗ

Τὴν τελευταίαν ἑσπέραν τῆς τυροφάγου συνερχόμενοι πάλιν οἱ φίλοι καὶ οἱ συγγενεῖς ἅπτονται δαιτὸς ἀθφας, ἣν χάρις ἁβρὰ περιχρίει, ἀνθοσμίας ἡδὺς ἱλαρύνει, ᾆσμα καὶ χορὸς εὐπρεπὴς ὡραΐζει. Ὃ δὲ ὅμως ἔχει περιπλέον ἡ ἑσπέρα αὕτη ἐστὶ τὸ ἑξῆς. Ἐν τῇ δαιτὶ οὐ μόνον περὶ τὸ τρώγειν περιορίζονται, ἀλλὰ καὶ ἐπιδιώκουσι τὴν ὑπεξαίρεσιν **μακαρουνέων** αἱ νεαραὶ νηρηίδες, ὧν εἴ τις ἐπιτύχοι, φυλάττει κειμήλιον ὡς ἐν αὐτῇ, καὶ ὅταν ἐπανέλθῃ οἴκαδε καὶ κλιθῇ πρὸς ὕπνον τίθησιν ὑπὸ τὸ προσκεφάλαιον αὐτῆς.

Οὕτως ἐὰν ἴδῃ καθ' ὕπνον ὅτι δίδωσιν εἰς αὐτὴν νέος ἢ νεᾶνις ὕδωρ ἐν κρατῆρι στερρῷ, λήψεται ἄνδρα νέον ἄγαμον· ἂν ὅμως ᾖ ἐρρωγὼς ὁ κρατήρ, χῆρον, εἰ δέ που ἔχει καὶ κηλῖδά τινα, ἄτιμον ἐστὶ τὸ δίδον πρόσωπον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Ο ΛΑΖΑΡΟΣ

Τῶν βαΐων τὴν προτεραίαν χαιρετίζουσαι αἱ νεάνιδες ἑνὸς ἑκάστου τὴν ἑστίαν λέγουσι τὸν Λάζαρον μετὰ χάριτος ἀρρήτου. Ἔν τισι μάλιστα πληθυσμοῖς ἀλβανογλώσσοις αἱ λέγουσαι τὸν Λάζαρον φέρουσιν ἐν χερσὶ καὶ ἀνδρείκελον φιλοκάλως ἐστολισμένον[1].

## ΤΟΥ ΧΡΙΣΤΟΥ ΤΑ ΠΑΘΗ ΚΑΙ ΤΟ ΠΑΣΧΑ

Τὴν νύκτα τῆς Μεγάλης Παρασκευῆς περιφερόμενοι οἱ παῖδες

[1] Ἴδε τὸν Λάζαρον ἐν τῇ Δημοτ. Ἀνθολογίᾳ σελ. 11-13 καὶ ἐν τῷ Ἐπιδορπίῳ σελ. 13.

ἀπὸ οἰκίας εἰς οἰκίαν λέγουσι **τοῦ Χριστοῦ τὰ πάθη** περίλυποι καὶ σιγηλοί [1].

Τὸ σάββατον αἱ οἰκοδέσποιναι βάπτουσι βαφῇ πορφυρᾷ πλῆθος ᾠῶν, ζυμοῦσι δὲ καὶ κολλύρας οὐχὶ ὀλίγας.

Καὶ τὰ μὲν ᾠὰ καταναλίσκουσιν οὑτωσί.

Τὸ πάσχα καὶ καθ' ὅλον τὸ ἀκόλουθον ἑορτολόγιον, ὅταν ἑτοιμάζεται ἡ τράπεζα καὶ τίθενται ἐπ' αὐτῆς αἱ ἀναγκαῖαι κολλύραι, ὁ ζωμὸς ὁ κλεινός, ὁ ἀμνὸς ὁ ὀπτός, ὅστις ἐστὶν ἡ πρωτίστη φροντὶς ὅλων τῶν χριστιανῶν, ἡ φυλλὶς ἡ καλὴ καὶ τὰ ᾠὰ τὰ κόκκινα, κάθηνται περὶ αὐτὴν ὅλ' εὐσταλεῖς, ὅλ' εὔθυμοι καὶ λαμβάνουσιν ἀνὰ ἓν ἕκαστος ᾠὸν καὶ λέγουσιν ὁ μὲν **Χριστὸς ἀνέστη,** ὁ δὲ **ἀληθῶς ἀνέστη** καὶ συγκρούουσι ταῦτ' ἀλλήλοις· εἶτ' ἄρχονται τρώγειν τε καὶ πίνειν, λέγειν τε καὶ ψάλλειν τὸ Χριστὸς ἀνέστη καὶ ἄλλα πολλὰ κατόπιν ᾄσματα τὸ χαρμόσυνον τῆς ἡμέρας ἑρμηνεύοντα.

Τὰς δὲ κολλύρας ὧδέ πως:

Ἐκ τούτων ἐσθίουσι μέν, στέλλουσι δὲ καὶ εἰς τοὺς ἀναδεξιμαίους αὐτῶν. Οὐ μὴν ἀλλὰ φυλάττουσι καὶ μίαν μέχρι τῆς τελευταίας ἑσπέρας Ἀπριλίου, καθ' ἣν τίθενται ταύτην ὑπὸ τὸ προσκεφάλαιον αὐτῶν καὶ ἐγείρονται νύκτωρ, κόπτουσι καὶ λαμβάνουσιν ἕκαστος ἀνὰ μίαν ἔνθεσιν.

Καὶ ποιοῦσι τοῦτο νύκτα ἵνα μὴ κατόπιν ἀκούσωσι, τῆς ἠοῦς ὑποφωσκούσης, ὄνου βόαμα ἢ κόκκυγος ᾠδήν· διότι, ἂν ἀκούσωσι πρὶν ἢ λάβωσι τὴν ἔνθεσιν, οὐκ ἔστι καλόν, ἂν δὲ μετ' αὐτήν, οὐκ ἔστι τι [2]. Καὶ ταῦτα μὲν οὕτω, τὰ δὲ κατὰ τὴν Ἀνάστασιν ὡς ἑξῆς.

Ὅτε ὁ ἱερεὺς ἄρχεται λέγων **Δεῦτε λάβετε φῶς,** αὐτίκα

[1] Ἴδε τοῦ Χριστοῦ τὰ πάθη ἐν τῇ Δημοτ. Ἀνθολογίᾳ σελ. 14 καὶ ἐν τῷ Ἐπιδορπίῳ σελ. 15-18.

Αἱ δέσποιναι, εἰς ὧν τὴν οἰκίαν λέγουσιν αὐτά τε καὶ τὰ πρὸ αὐτῶν τὰ παιδία, διδόασι τούτοις ἢ ᾠὰ ἢ ὀβολὸν ἢ διώβολον.

[2] Οὕτως ἔδοξε τῇ πρώτῃ τοῦ Μαΐου ἠοῖ λέγει τὸ κρατοῦν παρὰ τοῖς ἐγχωρίοις ἔθιμον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λαμβάνουσι καὶ ἀνάπτουσι τὰς ἑαυτῶν λαμπάδας, ἃς ὁτὲ μὲν ὑψοῦσι τρίς, ὅτε λέγεται τὸ Χριστὸς ἀνέστη τρίς, ὁτὲ δὲ σβεννύουσιν, ἄλλοτε δ' ἀνάπτουσι. Μετὰ δὲ τὴν θείαν λειτουργίαν ἐξερχόμενοι τοῦ ἱεροῦ τεμένους ἔχουσιν ἄλλοι μὲν ἡμμένας, ἄλλοι δ' ἐσβεσμένας αὐτάς.

Ἐκ τούτων νέοι τινὲς εὔστροφοι καὶ ζωηροὶ χωροῦσι πρὸς ἡτοιμασμένην αὐτόσε στιβάδα ξύλων καὶ βάλλουσι πῦρ, οὗτινος ἐκρηγνυμένου εἰς ἐρίβρομα κύματα φλογός, ἀγάλλονται βλέποντες οἱ πάντες ἐν χαρᾷ, μεθ' ὅπερ ἅπτουσι καὶ ὅσοι ἔχουσιν ἐσβεσμένα τὰ φῶτα αὐτῶν καὶ ἀπέρχεται ἕκαστος οἴκαδε, ἐν ᾧ ἐὰν εὕρωσιν εἴτε ἄνθρακας ἐμπύρους εἴτε λύχνον καιόμενον σβεννύουσι καὶ ἀνάπτουσι νέον πῦρ, ἐὰν δὲ τοὐναντίον, αὐτὸ τοῦτο γίνεται πάλιν, ὅ ἅγιον καὶ ἱερὸν πῦρ[1].

Τὰ δὲ κατὰ τὴν δευτέραν, ἥν περ λέγουσιν **Ἀγάπην**[2] οὑτωσί.

Τότε βάλλουσιν ὅλοι τὰ εὐμορφότατα φορέματα καὶ τὰ κράτιστα κοσμήματα αἱ δέσποιναι καὶ αἱ δεσποινίδες, ὧν τινων ἓν τὸ πρῶτον τὸ ἀκτινοβολοῦν τε καὶ λάμπον ἐπιχαρίτως ὁ χρυσοῦς ἢ ὁ ἀργυροῦς ὅρμος. Οὕτω δὲ μεταβαίνουσιν εἰς τὴν ἀνάστασιν ὅλοι λευχείμονες, ὅλοι περιχαρεῖς, ὅλοι φαιδροί.

Μετὰ ταῦτα δ' ἐκβαίνοντες ἐκ τοῦ ἕδους ἄρχονται τοῦ χοροῦ καὶ χορεύουσι καὶ τραγῳδοῦσι περιπαθέστατα. Ἄλλο ἰδεῖν καὶ ἄλλο ἀκοῦσαι.

Ψυχή μου! νομίζει τις ὅτι βλέπει πρὸ αὐτοῦ κόσμον ἄλλον, κόσμον ἔκτακτον, κόσμον ἀγγέλων λευκοπτέρων πυρπολούντων μολπαῖς. Ὡς ἡδὺ τὸ βλέπειν ἔστιν ὅτε τοιοῦτον κόσμον, κόσμον ταπεινοῦντα πᾶσαν ὑπεροψίαν ἀνθρωπίνην.

Ἔστω.

Ἐπανέλθωμεν εἰς τὸν ὅρμον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

[1] Ὅμοιον περίπου πρὸς τὸ ἱερὸν πῦρ τῆς Ἑστίας, ἐξ οὗ ἐλάμβανον οἱ ἄποικοι καὶ ἀνῆπτον ἐν τῷ νεοκτίστῳ αὐτῶν Πρυτανείῳ.

[2] Λέγουσιν ἀγάπην, διότι μετὰ τὸ τέλος αὐτῆς ἀσπάζονται ἀλλήλους ἅπαντες ἐχθροί τε καὶ φίλοι καὶ λέγουσιν ἀσπαζόμενοι *Χριστὸς ἀνέστη*- ἀληθῶς ἀνέστη ὁ Κύριος ζῇ καὶ βασιλεύει εἰς πάντας τοὺς αἰῶνας.

Τοιοῦτον ὅρμον ἐφόρουν καὶ αἱ καλλιπάρειοι τῶν ἡρωικῶν χρόνων γυναῖκες, ἡ Ἑλένη λόγου χάριν, ἡ Ἐριφύλη, περὶ οὗ εἶπεν ὁ ποιητής:

«Ἤλυθ' ἀνὴρ πολύϊδρις ἐμοῦ πρὸς δώματα πατρὸς
» Χρύσεον ὅρμον ἔχων, μετὰ δ' ἠλέκτροισιν ἔερτο,

*καὶ*

»Ὅρμον δ' Εὐρυμάχῳ πολυδαίδαλον αὐτίκ' ἔνεικε
»Χρύσεον ἠλέκτροισιν ἐερμένον ἠέλιον ὥς.

Εἶπε δὲ καὶ ὁ Ἡσίοδος:

»Ἀμφὶ δέ οἱ Χάριτες θεαὶ καὶπότνια Πειθὼ
»Ὅρμους χρυσείους ἔθεσαν χροΐ......

Ἅμα τε καὶ Πίνδαρος:

»Κλεωναίου τ' ἀπ' ἀγῶ=
»νος ὅρμον στεφάνων».

Ἔστω καὶ τοῦτο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Εἴπωμεν ἤδη τινὰ καὶ περὶ τοῦ χοροῦ τοῦ ἐγχωρίου.

Παλαίφατος ὁ χορὸς ὁ ἐγχώριος· αὐτὸς οὗτος ἦν οὐχὶ μόνον ἐν τῷ ἡρωικῷ αἰῶνι, ἀλλὰ καὶ ἐν τοῖς ἔπειτα, ἦν, ἐστὶ καὶ ἔσται ὁ χορὸς οὗτος ἐφ' ὅσον ὑπάρχουσιν Ὄλυμποι καὶ Ταΰγετοι. Καὶ διατί ὄχι; Τίς ἄλλος ἐκτὸς αὐτοῦ πλέον σεμνός, πλέον ἠθικός, πλέον χρυσοῦς χορός; Οὐδεὶς, οὐδαμοῦ.

Χορός, ὃν καὶ αὐτὸς ὁ Ζεὺς ἐτίμησεν[1], ὃν χιλιετηρίδες ἐλάτρευσαν, αἰῶνες ἐστεφάνωσαν, ἀλλ' ὃν δυστυχῶς ἤρξατο περιφρονεῖν τὸ παράφορον τοῦ νέου Κεκροπίδου φρόνημα, τὸ φοβερώτατον τοῦ

[1] «Μέσσοισιν δ' ὠρχεῖτο πατὴρ ἀνδρῶν τε θεῶν τε
λέγει που ὁ Εὔμηλος ἢ ὁ Ἀρκτῖνος.

Λέγει δὲ καὶ ὁ ποιητής:

«Ἔνθα μὲν ἠίθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
»Ὠρχεῦντ' ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες.

Καὶ ὁ Ξενοφῶν:

«Ἐπειδὴ σπονδαὶ ἐγένοντο καὶ ἐπαιώνισαν, ἀνέστησαν πρῶτοι Θρᾷκες »καὶ πρὸς αὐλὸν ὠρχοῦντο σὺν ὅπλοις καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως »καὶ ταῖς μαχαίραις ἐχρῶντο κτλ.».

νεαροῦ Κλέωνος ὕλαγμα προτιμῶν τὰ ἀλλότρια καὶ παραβλέπον τὰ πάτρια, λακτίζον δ' ἀπηνῶς.

Ἔστωσαν καὶ ταῦτα.

Ἐκ τούτων λοιπὸν δῆλον ὅτι πᾶν τὸ σῳζόμενον παρὰ τῷ λαῷ τῆς Ἑλλάδος ἕλκει τὴν καταγωγὴν ἐξ ἀμνημονεύτων αἰώνων καὶ ὁ Ἕλλην ἐστὶν αὐτὸς ἐκεῖνος, ὅστις ἦν καὶ τότε, καὶ βοάτωσαν ὅσον θέλουσιν οἱ Φαλμεράϋερ.

---

# ΜΥΘΟΙ

## ΜΩΑΜΕΘ ΚΑΙ ΙΗΣΟΥΣ

Μουσουλμᾶνος ὑπέρφρων ἔγραψέ ποτε εἰκόνα τινά, ἧς ἄνωθι μὲν ἔθεσε τὸν Μωάμεθ φέροντα σοβαρὰν καὶ περίβλεπτον περιβολήν, κάτω δὲ τὸν Ἰησοῦν ὀλόγυμνον ταύτῃ τ' ἔχοντα κρεάδιον καὶ τρώγοντα, ἐκείνῃ τε τὸν κύκνον αὐτοῦ βαστάζοντα.

Οὕτως οὖν προσεκάλεσε παρακλητικῶς ἡμέραν τινὰ εἰς τὸν οἶκον αὐτοῦ θύτην τινὰ ὀρθόδοξον, πρὸς ὃν τὴν εἰκόνα δεικνύων ὕμνει τὸν Μωάμεθ, ἔσκωπτε τὸν Ἰησοῦν.

Ὁ θύτης εὖ καὶ καλῶς ἐπισκοπήσας εἶπεν οὐχ ὁρᾷς; Ἐζήτησε καὶ ὁ Μωάμεθ παρὰ τοῦ Χριστοῦ κρέας, ἀλλ' ὁ Χριστὸς ἰδοὺ τὸν κύκνον μ' εἶπεν.

Οὕτως ἀκούσας ὁ Ὀσμανλῆς ἀπήλειψε τὸ γράμμ' αὐθωρεί.

## ΙΕΡΟΣΥΛΙΑ

Λησταί τινες εἰσελθόντες ἔν τινι ναῷ ἐσύλησαν ὅλα τὰ πολύτιμα σκεύη αὐτοῦ· ἔμενε δὲ μόνον ἔτι μία λυχνία ἀργυρᾶ, ἥτις ἐκρέματο ὑπὲρ τὴν ἁγίαν τράπεζαν καὶ ἣν καὶ αὐτὴν ἤθελον συλῆσαι, ἀλλ' ἐφοβοῦντο πατῆσ' ἐπὶ τῇ τραπέζῃ θεωροῦντες ἁμαρ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τίαν τοῦτο. Ἐκεῖ τις εἶπεν ἐνὶ πάτει καὶ ἀνάβα καὶ μὴ φοβοῦ· οὐκ ἔστιν ἁμαρτία.

Τί λέγεις, ὑπέλαβεν οὗτος, οὐκ ἔστιν ἁμαρτία; ἁμαρτία καὶ μεγάλη μάλιστα τὸ πατῆσαι ἐπὶ τὴν ἁγίαν τράπεζαν.

Ὦ, ἀντεῖπ' ἐκεῖνος, ἀδελφέ, καρδίαν καθαρὰν καὶ πάτει ὅπου θέλεις.

Ἐκ τούτου τὸ λεγόμενον:

**Καρδία καθαρὰ καὶ πάτει ὅπου θέλεις.**

## ΦΙΛΟΤΗΣ

Γυνή τις ἀγαπῶσα νέον τινὰ εὐκαιρίας ὥραν ὠνειρεύετο. Εἰπόντος οὖν τοῦ ἀνδρὸς αὐτῆς αὐγήν τινα ὅτι ἤξει τὴν δείλην εἰς τὸν μύλον, αὐτίκ' ἀνεκοίνωσε τοῦτο εἰς τὸν νέον καὶ παρήγγειλε πορευθῆναι τὸ ἑσπέρας. Ἀλλ' ὁ ἀνὴρ μὴ εὑρὼν πήραν παρέμεινεν.

Ἀγνοῶν τοῦτο ὁ νεανίσκος ἀφίκετο τὴν ἑσπέραν καὶ ἤρξατο κρούων τὴν θύραν, ὅπερ ἀκοῦον τὸ γύναιον ἔφασκεν:

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἄνεμε βορρειᾶ καὶ νότα.
Τί συχνοκτυπᾶς τὴν πόρτα;
Ἄντρας μου σακκὶ δὲν ηὗρε
Καὶ 'ς τὸ μύλο δὲν ἐπῆγε.

## ΑΝΗΡ ΚΑΙ ΓΥΝΗ ΧΗΡΑ

Βαίνων ποτέ τις ἐξ Ἀθηνῶν εἰς Κηφισίαν ἀπήντησεν ἐκεῖ που πλησίον γνωστήν τινά πως αὐτῷ χήραν, ἣ εἶπε χαιρετίσας ὥρα καλή.

Καλῶς ἦλθες, ἔφησ' αὕτη. Τί νέα ἐξ Ἀθηνῶν;

Σπουδαῖα, εἶπ' ἐκεῖνος.

Ἐδημοσιεύθη διάταγμα, καθ' ὃ οἵα δὴ γυνὴ ἔχει μικρὸν στόμα λήψεται δύο ἄνδρας.

Βῖ συμπτύσσουσα καὶ συστέλλουσα τὰ χείλη αὕτη.

Οἷα δὴ μεγάλον λήψεται τρεῖς.
Μπάα ἀνοίγουσα τὸ στόμα αὐτῆς ὁσίως.

## ΕΙΣ ΚΑΙ ΣΙΚΥΣ

Σίκυν τις ἐκκαθάρας ἔρριψε τὰ καθάρματα καὶ οὔρησεν ἐπ' αὐτοῖς. Εἶτ' ἀποφαγὼν τοῦτον ἐτράπετο πρὸς ἐκεῖνα καὶ ἤρξατο διερευνᾶν τρώγειν τε καὶ λέγειν ἅμα τοῦτ' οὐκ ἔστι κατουρημένον, κεῖν' οὐκ ἔστι, τἄλλο δ' οὔ. Αἴ κατουρημένα καὶ ἀκατούρητα.

Ἐντεῦθεν τὸ λεγόμενον:

**Κατουρημένα καὶ ἀκατούρητα.**

## ΖΕΥΓΗΛΑΤΗΣ ΚΑΙ ΠΑΝΑΓΙΑ

Ζευγηλάτης ἀγαθὸς ὡδήγει μίαν πρωΐαν ἵππον τε καὶ βόας ἐπ' ἀρούρας εὐρείας. Ἀποκαμὼν δὲ πεζὸς ἐλαύνων συνέλαβε τὸν ἵππον καὶ προσεπάθει πηδῆσ' ἐπ' αὐτοῦ, μὴ δυνάμενος ὅμως ἔλεγε βοήθει, Παναγία μου, καὶ λέγων ἐπήδησεν, ἀλλ' εἰς τὸ ἄλλο μέρος εὑρέθη πρηνὴς εἰπών : Αἴ πάμπολυ πάλιν ἐβοήθησας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

# ΔΟΞΑΣΙΑΙ

Δοξάζουσί τινες ὅτι ὁ θεὸς ἦν ποτε τόσον πλησίον τῆς γῆς, ὥστε ἔλειχον αὐτὸν οἱ βόες. Ἀκολούθως ὅμως ὑψώθη ὡς ἑξῆς.

Εἶπεν αὐτῷ μίαν ἡμέραν ἡ θάλασσα:

**Δός μοι βάθος, δοῦναί σ' ὕψος.**

Εὐθὺς οὗτος ἔδωκε τὸ βάθος, ἐκείνη τὸ ὕψος.

Σημειωτέον ὅτι θεὸν καλοῦσιν οἱ λαϊκοὶ τὸν οὐρανόν, ὅπως οἱ Πέρσαι ποτὲ καθ' Ἡρόδοτον.

**Ὅτι** ὅτε ὁ θεὸς ἐποίει τὸν κόσμον ἡ μέλισσα ἐζήτησεν ἵνα πᾶν τὸ πληττόμενον ὑπ' αὐτῆς ἀποθνήσκῃ, ὁ δὲ θεὸς εἶπε σὲ κάλλιον, καὶ οὕτως αὕτη πλήττουσα καταλείπει τὸ κέντρον καὶ ἀπέρχετ' αὐθωρεί.

**Ὅτι** οἴδασιν ἔνιοι τὸ ἀποσοβεῖν τὰ νέφη καὶ τὴν χάλαζαν κατὰ τὰς ἁλωὰς ὧδέ πως.

Οὗτοι μὲν τιθέασι παρὰ τὸν ἀλοώμενον σῖτον τρίποδ' ἀνάποδα καὶ οὕτως ἀποσοβοῦσι τὰ αὐτόσ' ἐπιφανέντα νέφη ἢ τὴν χάλαζαν, ἐκεῖνοι δὲ τίθενται τῇ ἑαυτῶν ζώνῃ φάσγανον μελάνδετον, οὗ τινος ἐχόμενοι περιφέρονται περὶ τὴν ἅλω καὶ πηγνύουσ' εἰς τὴν γῆν, διαβλέπουσι βλοσυροὶ καὶ λάβροι τὰ νέφ' ἢ τὴν χάλαζαν καὶ λέγουσι τὸ Πάτερ ἡμῶν, οὕτω δὲ καὶ οὗτοι διασκεδάζουσι ταῦτα.

Σημειωτέον δὲ ὅτι, ἂν θέλωσι βροχήν, λέγουσι τὸ Πάτερ ἡμῶν ἀντιστρόφως ἀρχόμενοι **ἀπὸ τοῦ πονηροῦ**, καὶ οὕτως ὕει.

Τοῦτ' αὐτὸ συνέβαινε καὶ παρὰ τοῖς ἀρχαίοις.

Οὕτω καὶ τότε οἱ ἐν Κλεωναῖς ἱερεῖς ἀπεμάκρυνον τὰ νέφη καὶ τὴν χάλαζαν μαγγάνῳ τε καὶ μαγείᾳ, ἐξ οὗ καὶ χαλαζοφύλακες ἐλέγοντο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Ὅτι** ἴσασί τινα γραΐδια καὶ καταβιβάζουσι τὴν νύκτα τὴν σελήνην μαγείᾳ τε καὶ μαγγάνῳ καὶ ὅταν καταβαίνῃ βοΐζει καὶ σείετ' ἐκεῖσε ὅλος ὁ τόπος.

Ὅμοιόν τι ἀπαντᾷ καὶ παρὰ Πλάτωνι λέγοντι:

«Τοῦθ' ὅρα εἰ σοὶ λυσιτελεῖ καὶ ἐμοί, ὅπως μή, ὦ δαιμόνιε, πεισόμεθα »ὅπερ φασὶ τὰς τὴν σελήνην καθαιρούσας, τὰς Θετταλίδας».

Καὶ παρ' Ἀριστοφάνει εἰπόντι:

«Γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλήν,
»καθέλοιμι νύκτωρ τὴν σελήνην».

**Ὅτι** ὁ παλίουρος ἔχει τὴν ἰσχὺν τοῦ ἀποτρέπειν πᾶν κακὸν ἐναέριον· διὸ ῥάπτουσι τοῦτον θυλακίσκῳ καὶ κρεμῶσιν εἰς τὸν λαιμὸν τῶν παιδίων ἵνα φυλάσσῃ ταῦτα ἀπὸ τοιούτου κακοῦ.

Τοιοῦτόν τι ἀναγινώσκεται καὶ ἐν τῇ Πολιτείᾳ τοῦ Πλάτωνος ἔχον οὕτως.

«Ὡς ἔστι παρά σφισι δύναμις ἐκ θεῶν ποριζομένη θυσίαις τε καὶ ἐπῳ-»δαῖς, καὶ ἐπαγωγαῖς τισι καὶ καταδέσμοις τοὺς θεοὺς πείθουσί σφισιν »ὑπηρετεῖν κλπ.».

**Ὅτι** βλέπουσιν ἔνιοι τὴν νύκτα φαντάσματα, λαγωνικὰ λόγου χάριν, τὸν διάβολον καὶ ἄλλα. Τοιαῦτα μάλιστα λέγουσί τινες ὅτι βλέπει πολλάκις ὁ ἐν τῇ κλεισωρείᾳ τοῦ Ἁγιονορίου πορευόμενος, ἐν ᾗ ὧδε μὲν ἀκούει φωνάζον τὸ αἷμα τοῦ αὐτόθι ταφέντος ἐκτενοῦς ἐσμοῦ τοῦ Δραμάλεως, ἐκεῖ δὲ βλέπει λαγωνικὸν κατάλευκον προκύπτον ἐκ τοῦ ζόφου, κύκλῳ δὲ τὸν διάβολον δίκην ἀσκοῦ καταξήρου κροτοῦντα καὶ στρεφόμενον περὶ αὐτόν, καὶ πλεῖστα ἄλλα.

Ὅμοιόν τι σχεδὸν ἀπαντᾷ καὶ παρὰ Παυσανίᾳ λέγοντι:

«Ἐνταῦθα ἀνὰ πᾶσαν νύκτα ἵππων χρεμετιζόντων καὶ ἀνδρῶν μαχο-»μένων ἔστιν αἰσθέσθαι».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

**Ὅτι** ὅταν κύων τις ὠρύεται νύκτωρ, ὀσφραίνεται ἀπευκταίου τινός.

Τοιοῦτόν τι εὕρηται καὶ παρὰ Παυσανίᾳ εἰπόντι:

«Τρίτον δὲ ἄλλο συνέβη σφίσιν. Οἱ κύνες συνιόντες εἰς τὸ αὐτὸ ἀνὰ »πᾶσαν νύκτα ὠρύοντο κτλ.[1]».

**Ὅτι** οἱ κατὰ τὸ θέρος αἰωρούμενοι στρόβιλοι εἰσὶν αἱ ψυχαὶ τῶν ἀπελθόντων, αἳ ἑλισσόμεναι ἀέρι χορεύουσιν.

Αἱ ψυχαὶ αὗται λέγονται **ἀπόξοι, ξωτικά, ἀπαέρες.**

Ὅ ἐστιν ἐπὶ ἀέρας ὀχούμεναι καὶ ἀλλόμεν' ἔστιν ὅτε.

Ἐντεῦθεν καὶ τὸ λεγόμενον **ἔλαβ' ἀπόξω,** τουτέστιν ἔπαθέ τι ἔξωθεν ὑπὸ τῶν ἐξωτικῶν τυπείς.

[1] Ἴδε Ἐπιδορπίου μου τόμον Α', μέρος Β', σελ. 83.

**Ὅτι** ὅταν θύελλαι καὶ καταιγίδες ἐπιφαίνωντ' ἄφνω καὶ ἄρχωνται στροβιλίζουσαι τὰ πάντα, μαίνεταί που γῆς ἐρίβρομος Ἄρης.

**Ὅτι** εἴ τις εὕροι τρίφυλλον πόαν δύο μόνον ἔχουσαν φύλλα ἑλκύει πρὸς ἑαυτὸν πᾶν ὄψιμον ὂν κεντώμενον δι' αὐτῆς[1].

**Ὅτι** ὁ κλέψας ὅ,τι δήποτε πρᾶγμα καὶ μὴ ἐπιστρέψας, ὅταν θνήξῃ κρεμασθήσεται εἰς τὸν λαιμὸν αὐτοῦ τὸ **πολυποδήριον**[2].

Ὅμοιόν τι σχεδὸν ἀπαντᾷ καὶ παρὰ Πινδάρῳ κιθαρῳδοῦντι :

«'Αμφὶ δ' ἀνθρώ-
»πων φρεσὶν ἀμπλακίαι
»ἀναρίθμητοι κρέμανται».

## ΑΓΕΛΑΣΤΑ

Ἠοῦς ἐρύθημ' ἄνθρωπος.

Ποῦ βαίνεις, ὦ ταλαίπωρε, ποῦ τρέχεις ἀνθρωπίσκε;
Οὐκ εἶς ἐκεῖνος ὃς ἦν χθὲς οὐδ' ἔχεις ὁ χθὲς εἶχες·
'Απῆλθον ἅπαντα βαβαί! καὶ ἥβη τε καὶ κάλλος,
'Απῆλθον πλούτη, γέλια, συμπλέγματ', εἰλαπίναι
Καὶ νῦν εἶ φάσμα τι γυμνόν, σκιά τις ἀπαισία
Καὶ μετ' ὀλίγον ἔσει χοῦς, ἔσει σποδὸς ὀλίγη.

Ἰαλέμων ὁλόμαυρον ῥεῖθρον
Βλέπε κύκλῳ σου ῥέον πικρὸν
Καὶ τοῦ ᾅδου τὸ πέλωρον κλεῖθρον
Κλῦθι κλάζον τὸ γκρὰγκ κρυερόν.

[1] Ἴδε Ἐπιδορπίου μου τόμον Α', μέρος Β', σελ. 84-85.

[2] *Πολυποδήριον*. Πολυποδήριον καὶ πολυποδηράκιον ἄλλοι λέγοντες ἐννοοῦσιν οὐχὶ τὸ πολυπόδιον, ἀλλ' ἑρπετόν τι πολύπουν ἕλκον τὸ γένος ἐκ τῶν ὄφεων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000023311

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τιμᾶται Δραχμῆς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ